καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγεν καὶ
13 ἐξῆλθεν ἔξω. [13]καὶ ἐγένετο ὡς εἶδεν ὅτι κατέλιπεν τὰ ἱμάτια αὐτοῦ
14 ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω, [14]καὶ ἐκάλεσεν
τοὺς ὄντας ἐν τῇ οἰκίᾳ καὶ εἶπεν αὐτοῖς λέγουσα Ἴδετε, εἰσήγαγεν
ἡμῖν παῖδα Εβραῖον ἐμπαίζειν ἡμῖν· εἰσῆλθεν πρός με λέγων Κοι-
15 μήθητι μετ᾽ ἐμοῦ, καὶ ἐβόησα φωνῇ μεγάλῃ· [15]ἐν δὲ τῷ ἀκοῦσαι
αὐτὸν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια
16 αὐτοῦ παρ᾽ ἐμοὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω. [16]καὶ καταλιμπάνει τὰ
17 ἱμάτια παρ᾽ ἑαυτῇ, ἕως ἦλθεν ὁ κύριος εἰς τὸν οἶκον αὐτοῦ. [17]καὶ
ἐλάλησεν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα λέγουσα Εἰσῆλθεν πρός
με ὁ παῖς ὁ Εβραῖος, ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι καὶ
18 εἶπέν μοι Κοιμηθήσομαι μετὰ σοῦ· [18]ὡς δὲ ἤκουσεν ὅτι ὕψωσα
τὴν φωνήν μου καὶ ἐβόησα, κατέλιπεν τὰ ἱμάτια αὐτοῦ παρ᾽ ἐμοὶ
19 καὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω. [19]ἐγένετο δὲ ὡς ἤκουσεν ὁ κύριος
αὐτοῦ τὰ ῥήματα τῆς γυναικὸς αὐτοῦ, ὅσα ἐλάλησεν πρὸς αὐτὸν
λέγουσα Οὕτως ἐποίησέν μοι ὁ παῖς σου, καὶ ἐθυμώθη ὀργῇ.
20 [20]καὶ λαβὼν ὁ κύριος Ιωσηφ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, εἰς
τὸν τόπον, ἐν ᾧ οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται ἐκεῖ ἐν
τῷ ὀχυρώματι.
21 [21]Καὶ ἦν κύριος μετὰ Ιωσηφ καὶ κατέχεεν αὐτοῦ ἔλεος καὶ ἔδω-
22 κεν αὐτῷ χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος, [22]καὶ ἔδωκεν ὁ
ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ιωσηφ καὶ πάντας
τοὺς ἀπηγμένους, ὅσοι ἐν τῷ δεσμωτηρίῳ, καὶ πάντα, ὅσα ποιοῦ-
23 σιν ἐκεῖ. [23]οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων
δι᾽ αὐτὸν οὐθέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ιωσηφ διὰ τὸ τὸν κύριον
μετ᾽ αὐτοῦ εἶναι, καὶ ὅσα αὐτὸς ἐποίει, κύριος εὐώδου ἐν ταῖς
χερσὶν αὐτοῦ.
40 [1]Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα ἥμαρτεν ὁ ἀρχιοινοχόος
τοῦ βασιλέως Αἰγύπτου καὶ ὁ ἀρχισιτοποιὸς τῷ κυρίῳ αὐτῶν βα-
2 σιλεῖ Αἰγύπτου. [2]καὶ ὠργίσθη Φαραω ἐπὶ τοῖς δυσὶν εὐνούχοις
3 αὐτοῦ, ἐπὶ τῷ ἀρχιοινοχόῳ καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ, [3]καὶ ἔθετο
αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ δεσμοφύλακι εἰς τὸ δεσμωτήριον, εἰς
4 τὸν τόπον, οὗ Ιωσηφ ἀπῆκτο ἐκεῖ. [4]καὶ συνέστησεν ὁ ἀρχι-
δεσμώτης τῷ Ιωσηφ αὐτούς, καὶ παρέστη αὐτοῖς· ἦσαν δὲ ἡμέρας
5 ἐν τῇ φυλακῇ. — [5]καὶ εἶδον ἀμφότεροι ἐνύπνιον, ἑκάτερος ἐνύ-
πνιον, ἐν μιᾷ νυκτὶ ὅρασις τοῦ ἐνυπνίου αὐτοῦ, ὁ ἀρχιοινοχόος καὶ
ὁ ἀρχισιτοποιός, οἳ ἦσαν τῷ βασιλεῖ Αἰγύπτου, οἱ ὄντες ἐν τῷ
6 δεσμωτηρίῳ. [6]εἰσῆλθεν δὲ πρὸς αὐτοὺς Ιωσηφ τὸ πρωὶ καὶ εἶδεν

12 εν ταις χ. αυτης > A† || 17 κοιμηθητι μετ εμου A† || 19 αυτου 1° > A† || 20 λαβων ... ενεβαλεν] ελαβεν ... και ενεβ. A† || 23 του δεσμωτ. M] > A | ευωδου M] ευοδοι A
40 3 δεσμοφυλακι M] pr. αρχι A || 6 ιωσηφ / το πρωι] tr. A†